Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

VIII. Quinam tunc fuerint Ecclesiastici Scriptores.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

πρὸς μητέρας καὶ ἀδελφὰς μίξεσιν, ἀνοσίαις τε τροφαῖς χρωμένων. οὐκ εἰς μακρὸν γε μὴν αὐτῷ ταῦτα προὐχώρει, τῆς ἀληθείας αὐτῆς ἑαυτὴν συνιστώσης, ἐπὶ μέγα τε φῶς κατὰ τὸν προϊόντα χρόνον διαλαμπούσης. ἔσβεσο μὲν γὰρ αὐτίκα, πρὸς αὐτῆς ἐνεργείας ἀπελεγχόμενα τὰ τῶν ἐχθρῶν ἐπιτεχνήματα, ἄλλων ἐπ' ἄλλαις αἱρέσεων καινοτομουμένων. ὑπορρεουσῶν ἀεὶ τῶν προτέρων, καὶ εἰς πολυτρόπους καὶ πολυμόρφους ἰδέας ἄλλοτε ἄλλως φθειρομένων· προῄει δ' εἰς αὔξησιν καὶ μέγεθος, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, ἡ τῆς καθόλου καὶ μόνης ἀληθοῦς ἐκκλησίας λαμπρότης, τὸ σεμνὸν καὶ εἰλικρινὲς καὶ ἐλευθέριον, τό, τε σῶφρον καὶ καθαρὸν τῆς ἐνθέου πολιτείας τε καὶ φιλοσοφίας εἰς ἅπαν γένος Ἑλλήνων τε καὶ Βαρβάρων ἀποστίλβουσα. συναπέσβη γοῦν ἅμα τῷ χρόνῳ καὶ ἡ κατὰ παντὸς τοῦ δόγματος διαβολή· ἔμενε δ' οὖν μόνη παρὰ πᾶσι κρατοῦσα καὶ ἀνομολογουμένη τὰ μάλιστα διαπρέπειν ἐπὶ σεμνότητι καὶ σωφροσύνῃ, θείοις τε καὶ φιλοσόφοις δόγμασιν, ἡ καθ' ἡμᾶς διδασκαλία· ὡς μηδένα τῶν εἰς νῦν, αἰσχρὰν ἐπιφέρειν τολμᾶν κατὰ τῆς πίστεως ἡμῶν δυσφημίαν, μηδέ τινα τοιαύτην διαβολήν, οἵαις πάλαι πρότερον φίλον ἦν χρῆσθαι τοῖς καθ' ἡμῶν ἐπισυνισταμένοις. ὅμως δ' οὖν κατὰ τοὺς δηλουμένους αὖθις παρῆγεν εἰς μέσον ἡ ἀλήθεια πλείους ἑαυτῆς ὑπερμάχους, οὐ δι' ἀγράφων αὐτὸ μόνον ἐλέγχων, ἀλλὰ καὶ δι' ἐγγράφων ἀποδείξεων κατὰ τῶν ἀθέων αἱρέσεων στρατευομένους.

A bitu cum sororibus & matribus misceri, & exsecrandis dapibus vesci soleremus. Sed hæ Dæmonis artes nequaquam in diuturnum tempus ei processere, quippe cùm veritas ipsa seipsam astrueret & commendaret, progressuque temporis clarius in dies elucesceret. Et adversariorum quidem inventa à semetipsis confutata, confestim extincta sunt: aliis super alias exorientibus sectis, cùm priores assiduè diffluerent, & in multiplices ac multiformes errorum species vario quæque modo evanescerent. Catholica autem Ecclesia, quæ sola vera est, semperque sui similis & constans, novis quotidie incrementis augebatur: B gravitate, sinceritate, ac libertate, modestia denique & sanctitate vitæ cujusdam Philosophiæque divinæ, omnium oculos non Græcorum modò, verùm etiam Barbarorum perstringens. Simul etiam extincta est temporis lapsu calumnia illa, quæ universæ religioni nostræ afficta fuerat. Mansitque tandem disciplina nostra, sola omnium consensu superior & victrix, ac præ reliquis sectis modestia, gravitate, divinæque Sapientiæ præceptis excellere ab omnibus judicata: adeò ut exinde ad nostra usque tempora nemo sit ausus ullam infamiæ C labem fidei nostræ aspergere, aut aliquam ejusmodi calumniam inferre, qualem veteres illi nostræ religionis hostes jactare consueverant. Ceterùm illis temporibus rursus veritas plures sui patronos in medium produxit, qui non solùm viva voce, sed etiam scriptis disputationibus adversus impias Hæreses decertarunt.

---

## ΚΕΦΑΛΑΙΟΝ Η΄.

*Τίνες ἐκκλησιαστικοὶ συγγραφεῖς.*

Ἐν τούτοις ἐγνωρίζετο Ἡγήσιππος, οὗ D πλείσταις ἤδη πρότερον κεχρήμεθα φωναῖς. ὡς ἂν ἐκ τῆς αὐτοῦ παραδόσεως τινὰ τῶν κατὰ τοὺς Ἀποστόλους παραθέμενοι. ἐν πέντε δὴ οὖν συγγράμμασιν οὗτος, τὴν ἀπλανῆ παράδοσιν τοῦ Ἀποστολικοῦ κηρύγματος ἁπλουστάτῃ συντάξει γραφῆς ὑπομνηματισάμενος, καθ' ὃν ἐγνωρίζετο σημαίνει χρόνον, περὶ τῶν ἀρχῆθεν ἱδρυσάντων τὰ εἴδωλα οὕτω πως γράφων. οἷς καινοτάφια καὶ ναοὺς ἐποίησαν ὡς μέχρι νῦν. ὧν ἐστὶ καὶ Ἀντίνοος δοῦλος Ἁδριανοῦ Καίσαρος,

## Caput VIII.

*Quinam tunc fuerint Ecclesiastici Scriptores.*

Inter quos celebris fuit Hegesippus, cujus testimonio in superioribus libris sæpissimè usi fuimus, cùm res Apostolorum temporib⁹ gestas ex illius fide ac relatione traderemus. Hic in quinq; libris simplici admodùm sermone conscriptis verissimam Apostolicæ prædicationis historiam complexus, tempus ipsum quo floruit, apertè designat, cùm de iis qui simulacra primùm erigere cœperant, in hunc modum scribit. Quibus cenotaphia templaq; exstruxerunt, sicut nunc etiam fieri videmus. Ex quibus fuit Antinous servus Cæsaris Hadriani, Huc refer Niceph. c. 5. l. 4.

A in cujus honorem certamen sacrum
quod Antinoium vocant, nostra etiam
ætate celebratur. Nam & urbem Anti-
noo cognominem Hadrianus condi-
dit, & Prophetas instituit. Eodem tem-
pore Justinus veræ Philosophiæ amator
sincerissimus, adhuc gentilium Philo-
sophorum scriptis ac sermonibus adhæ-
rescebat. Qui etiam in Apologetico
ad Imperatorem Antoninum scripto,
hoc ipsum tempus designat his verbis:
Nec absurdum, inquit, videtur Anti-
noi qui nuperrimè vixit, mentionem
hîc facere: quem omnes tanquam
Deum colere per vim ac metum insti-
B tuerunt; cùm quis esset & undè oriun-
dus, probè cognitum haberent. Idem
quoque belli Judaïci, quod tunc tem-
poris gestum est, meminit his verbis:
Nam & in bello, inquit, Judaïco quod
nuper gestum est, Barchochebas, is
qui Judaïcæ defectionis auctor & signi-
fer fuit, solos Christianos acerbissimis
tormentis cruciari jussit, nisi Christum
abnegarent & maledictis incesserent.
Sed & in eodem libro loquens de con-
versione sua à gentilium Philosophia
ad veri Numinis cultum, id non teme-
rè ac leviter, sed cum ratione ac judi-
cio ab se factum esse declarat his verbis:
C Nam & ego, inquit, qui Platonis
doctrinam amplexus fueram, cùm
Christianos calumniis appeti audirem,
eosque adversus mortem & cetera quæ
formidabilia habentur, fortes atque
intrepidos viderem, sic apud me re-
putabam fieri non posse ut iidem vi-
tiis ac voluptatibus dediti essent. Quis
enim voluptatibus deditus, aut in-
temperans, & humanis carnibus ve-
sci pro deliciis habens, mortem ipsam
possit libenter amplecti, quæ suas ipsi
cupiditates ereptura sit? Ac non po-
tius omnibus modis contendat, ut in
D hac vita perpetuò degat & Magistratus
ipsos lateat: nedum se ipse necandum
ultro prodat ac deferat. Refert præ-
tereà idem Justinus, Imperatorem
Hadrianum acceptis à viro clarissimo
Serenio Graniano Proconsule literis,
quibus monebat iniquum videri, Chri-
stianos nullo objecto crimine, tumul-
tuosis vulgi clamoribus gratificandi
studio, indicta causa occidere; rescri-
psisse Minucio Fundano Asiæ Procon-
suli, ne quis posthac sine objectu cri-
minis & legitima accusatione conde-

οὗ καὶ ἀγῶνες ἄγονται Ἀντινόειοι, ὁ καὶ ἐφ' ἡμῶν γενόμενος. καὶ γὰρ καὶ πόλιν ἔκτισεν ἐπώνυμον Ἀντινόου, καὶ Προφήτας. κατὰ τοῦτον καὶ Ἰουστῖνος γνήσιος τῆς ἀληθοῦς φιλοσοφίας ἐραστής, ἔτι τοῖς παρ' Ἕλλησιν ἀσκούμενος ἐνδιέτριβε λόγοις. σημαίνει δὲ καὶ αὐτὸς τοῦτον τὸν χρόνον ἐν τῇ πρὸς Ἀντωνῖνον ἀπολογίᾳ ὧδε γράφων. οὐκ ἄτοπον δὲ ἐπιμνησθῆναι ἐν τούτοις ἡγούμεθα καὶ Ἀντινόου τοῦ νῦν γενομένου, ὃν καὶ ἅπαντες ὡς Θεὸν διὰ φόβον σέβειν ὥρμηντο, ἐπιστάμενοι τίς τε ἦν καὶ πόθεν ὑπῆρχεν. ὁ δ' αὐτὸς καὶ τοῦ τότε κατὰ Ἰουδαίων πολέμου μνημονεύων, ταῦτα παρατίθεται. καὶ γὰρ ἐν τῷ νῦν γενομένῳ Ἰουδαϊκῷ πολέμῳ, Βαρχωχέβας ὁ τῆς Ἰουδαίων ἀποστάσεως ἀρχηγέτης, Χριστιανοὺς μόνους εἰς τιμωρίας δεινάς, εἰ μὴ ἀρνοῖντο Ἰησοῦν τὸν Χριστὸν καὶ βλασφημοῖεν, ἐκέλευεν ἄγεσθαι. ἐν ταυτῷ δὲ καὶ τὴν ἀπὸ τῆς ἑλληνικῆς φιλοσοφίας ἐπὶ τὴν θεοσέβειαν μεταβολὴν αὐτοῦ, ὅτι μὴ ἀλόγως, μετὰ κρίσεως δὲ αὐτῷ γεγόνει δηλῶν, ταῦτα γράφει. καὶ γὰρ αὐτὸς ἐγὼ τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων Χριστιανούς, ὁρῶν δὲ καὶ ἀφόβους πρὸς θάνατον καὶ πάντα τὰ νομιζόμενα φοβερά, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ, καὶ φιληδονίᾳ ὑπάρχειν αὐτούς. τίς γὰρ φιλήδονος ἢ ἀκρατής, καὶ ἀνθρωπείων σαρκῶν βορὰν ἡγούμενος ἀγαθόν, δύναιτ' ἂν θάνατον ἀσπάζεσθαι, ὅπως τῶν ἑαυτοῦ στερηθείη ἐπιθυμιῶν, ἀλλ' οὐκ ἐκ παντὸς ζῆν ἀεὶ τὴν ἐνθάδε βιοτὴν καὶ λανθάνειν τοὺς ἄρχοντας ἐπειρᾶτο, οὐχ ὅτι ἑαυτὸν κατήγγελλε φονευθησόμενον. ἔτι δ' ὁ αὐτὸς ἱστορεῖ δεξάμενον τὸν Ἀδριανὸν παρὰ Σερεννίου Γρανιανοῦ λαμπροτάτου ἡγουμένου γράμματα ὑπὲρ Χριστιανῶν, περιέχοντα ὡς οὐ δίκαιον εἴη ἐπὶ μηδενὶ ἐγκλήματι βοαῖς δήμου χαριζομένους ἀκρίτως κτείνειν αὐτούς, ἀντιγράψαι Μινουκίῳ Φουνδάνῳ ἀνθυπάτῳ τῆς Ἀσίας, προστάττοντα μηδένα κτείνειν ἄνευ ἐγκλήματος καὶ εὐλόγου κατηγορίας· καὶ τῆς ἐπιστολῆς δὲ ἀντίγραφον παρατέθειται, τὴν Ῥωμαϊκὴν φωνὴν ὡς εἶχε διαφυλάξας· προλέγει δ' αὐτῆς ταῦτα. ἐξ ἐπιστολῆς δὲ τοῦ μεγίστου καὶ ἐπιφανε-

mnaretur: Cujus epistolæ exemplum, Latino, ut erat, sermone conscriptum, ibidem affert Justinus, præmissis interim his verbis: Ac nos quidem, inquit, tametsi ex epistola

στάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρὸς ὑμῶν ἔχοντες ἀπαιτεῖν ὑμᾶς καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γίνεσθαι, τοῦτο οὐχ ὡς ὑπὸ Ἀδριανοῦ κελευσθὲν μᾶλλον ἠξιώσαμεν, ἀλλὰ καὶ ἐκ τοῦ ἐπίστασθαι δικαίαν ἀξιοῦν τὴν προσφώνησιν. ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε. καὶ ἔστι τόδε. τούτοις ὁ μὲν δηλωθεὶς ἀνὴρ αὐτὴν παρατέθειται τὴν Ῥωμαϊκὴν ἀντιγραφήν· ἡμεῖς δ' ἐπὶ τὸ ἑλληνικὸν κατὰ δύναμιν αὐτὴν μετειλήφαμεν, ἔχουσαν ὧδε.

A maximi & nobilissimi Cæsaris Hadriani parentis vestri jure postulare à vobis poteramus, ut judicia de Christianis fieri ex ea formula quam poscebamus, juberetis: id tamen non tàm idcircò postulavimus quod ab Hadriano ita constitutum esset, quàm propterea quòd petitionem nostram justissimam esse intelligimus. Atque ut in eo quoque verum à nobis dici perspiciatis, exemplum epistolæ Hadriani subjecimus, quod est hujusmodi. Posthæc idem Justinus ipsum exemplar epistolæ Latino sermone scriptum subjungit: quòd nos, prout potuimus, Græcè in-
B terpretati sumus hoc modo.

## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ἐπιστολὴ Ἀδριανοῦ ὑπὲρ τοῦ μὴ δεῖν ἀκρίτως ἡμᾶς ἐλαύνειν.

Μινουκίῳ Φουνδάνῳ. Ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερεννίου Γρανιανοῦ λαμπροτάτου ἀνδρός, ὅντινα σὺ διεδέξω. οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. εἰ οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνανται διϊσχυρίζεσθαι κατὰ τῶν χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνασθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν, οὐδὲ μόναις βοαῖς. πολλῷ γὰρ μᾶλλον προσῆκεν εἴ τις κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. εἴ τις οὖν κατηγορεῖ καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως ὅριζε κατὰ τὴν δύναμιν τοῦ ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνοι, διαλάμβανε ὑπὲρ τῆς δεινότητος, καὶ φρόντιζε ὅπως ἂν ἐκδικήσειας. καὶ τὰ μὲν τῆς Ἀδριανοῦ ἀντιγραφῆς τοιαῦτα.

## CAPUT IX.

*Epistola Hadriani, ne quis Christianorum indicta causa puniatur.*

ÆLius Hadrianus Aug. Minucio Fundano Procos. Salutem. Accepi literas ad me scriptas à Serenio Graniano V. Cl. decessore tuo. Nec sanè mihi videtur res ista absque diligenti inquisitione prætereunda, ne fortè & Christiani homines turbentur, & delatoribus calumniandi occasio præbea-
C tur. Igitur si provinciales palam adesse possunt petitionibus suis adversus Christianos, ita ut pro tribunali respondeant, in id unum incumbant, nec petitionibus solisque clamoribus utantur. Etenim multò justius fuerit cognoscere te, si quis accusare voluerit. Quod si quis eos detulerit, probaveritque contra leges quicquam agere, tu pro gravitate delicti in eos statue. Sin mehercule calumniæ causa istud intenderit, operam dabis ut pro gravitate criminis in illum animadvertas. Et hæc quidem de rescripto Hadriani.

Huc refer Niceph. c.27 l.3.

D

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Τίνες ἐπὶ τῆς Ἀντωνίνου βασιλείας Ἐπίσκοποι Ῥωμαίων καὶ Ἀλεξανδρέων γεγόνασιν.

ΤΟύτου δὲ τὸ χρεὼν μετὰ πρῶτον καὶ εἰκοστὸν ἔτος ἐκτίσαντος, Ἀντωνῖνος ὁ κληθεὶς εὐσεβὴς τὴν Ῥωμαίων ἀρχὴν διαδέχεται. τούτου δὲ ἐν ἔτει πρώτῳ Τελεσφόρου τὸν βίον ἑνδεκάτῳ τῆς λειτουργίας ἐνιαυτῷ μεταλλάξαντος, Ὑγῖνος τὸν κλῆρον τῆς Ῥωμαίων Ἐπισκοπῆς παραλαμβάνει. ἱστορεῖ γε μὴν ὁ Εἰρηναῖος τὸν Τελεσφόρον μαρτυρίῳ τὴν τελευ-

## CAPUT X.

*Qui Romæ & Alexandriæ Episcopi fuerint imperante Antonino.*

CEterùm Hadriano vita perfuncto cùm unum & viginti annos imperasset, Antoninus cognomento Pius administrationem Imperii suscepit. Hujus anno primo, cùm Telesphorus migrasset è vita anno sui Episcopatus undecimo, Pontificatum Romanæ urbis sortitus est Hyginus. Porrò Telesphorum scribit

Huc refer Niceph. c.25. l.3.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN